[3] Κύλων ἦν Ἀθηναῖος ἀνὴρ Ὀλυμπιονίκης τῶν πάλαι εὐγενής τε καὶ δυνατός, ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους Μεγαρέως ἀνδρός, ὃς κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐτυράννει Μεγάρων.

[4] χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς ἀνεῖλεν ὁ θεὸς ἐν τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων ἀκρόπολιν.

[5] ὁ δὲ παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθεν Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι, …

[7] οἱ δὲ Ἀθηναῖοι αἰσθόμενοι ἐβοήθησάν τε πανδημεὶ ἐκ τῶν ἀγρῶν ἐπ᾽ αὐτοὺς καὶ προσκαθεζόμενοι ἐπολιόρκουν.

[8] χρόνου δὲ ἐγγιγνομένου οἱ Ἀθηναῖοι… ἀπῆλθον οἱ πολλοί, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τήν τε φυλακὴν καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι …

[9] οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμενοι φλαύρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ.

[10] ὁ μὲν οὖν Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν: οἱ δ᾽ ἄλλοι ὡς ἐπιέζοντο καί τινες καὶ ἀπέθνῃσκον ὑπὸ τοῦ λιμοῦ, καθίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει.

[11] ἀναστήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτετραμμένοι τὴν φυλακήν, ὡς ἑώρων ἀποθνῄσκοντας ἐν τῷ ἱερῷ, ἐφ᾽ ᾧ μηδὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες ἀπέκτειναν: καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν τοῖς βωμοῖς ἐν τῇ παρόδῳ ἀπεχρήσαντο. καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλιτήριοι τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο καὶ τὸ γένος τὸ ἀπ᾽ ἐκείνων.

εὐγενής – urozený

δυνατός – mocný

ἐγεγαμήκει – od γαμέω – oženit se

θυγάτηρ – dcera

ἑορτή – svátek

καταλαμβάνω – dobývat, oblehat

αἰσθάνομαι – uvědomovat si

ἐβοήθησάν – aor. od βοηθέω – pomáhat

ἐκδιδράσκω – utíkat

ἐφέζομαι – posadit se

ἀποθνήσκω – umírat

λιμός – hlad

βωμός – oltář

ἱκετεύω – prosit

ἱερός – posvátné místo

ἀποκτείνω – zabit

προσκαθεζόμενοι – προσκαθέζομαι – sednout si (před něčím)

πολιορκέω – obléhat

ἐπιτρέπω – vracet se

διατίθημι – pověřovat

σῖτος – obilí

ὕδωρ – voda

ἀπορία – nedostatek

καθέζομαι – posadit se

σεμνός – posvátný

ἐναγής – proklatý